© www.astrothesaurus.gr

### *Περὶ φάσεων καὶ δύσεων*

«Ποιοῦνται δὲ φάσεις πρὸς τὸν Ἥλιον οἱ περιπολοῦντες ἀστέρες»

*Διαλεχθεὶς ὁ ἀστρολόγος περὶ τῶν σχημάτων τῶν γινομένων ἐν τοῖς ζῳδίοις καὶ διδάξας, ποῖα μὲν διαστήματος τῶν ἀστέρων ποιοῦσι σχήματα, ποῖα δὲ οὐ ποιοῦσιν, καὶ διαλεχθεὶς περὶ τῶν ἀσχηματίστων νῦν τρέπεται καὶ ἐπὶ ἑτέραν ζήτησιν· καὶ παραδίδωσι τὰς φάσεις, ἅσπερ οἱ ἀστέρες ποιοῦνται πρὸς τὸν Ἥλιον καὶ τὴν Σελήνην ἑκατέρας αὐτῶν διχῇ διῃρημένης, καὶ καλεῖται ἡ μὲν ἑῴα, ἡ δὲ ἑσπερία. ἑκατέρα δὲ αὐτῶν λέγεται καὶ ἀνατολικὴ καὶ δυτική.*